Ἄσματι μελιχροῖς, ὑμνολογῶν σε Κόρη, Νικόδημος ὁ θεῖος, ἔνθους σοι ἀνεβόα, χαῖρε Παρθένε Ἄχραντε.

Νῦν ἀπολύεις, τὸ τρισάγιον, τὸ Ἀπολυτίκιον ἐκ τοῦ Μεγάλου Ἑσπερινοῦ καὶ ἀπόλυσις.

ΕΝ ΤΩ ΜΕΓΑΛΩ ΕΣΠΕΡΙΝΩ.

Μετὰ τὸν Προοιμιακόν, τὸ Μακάριος ἀνήρ. Εἰς δὲ τὸ Κύριε ἐκέκραξα ἱστῶμεν στίχους στ'. καὶ ψάλλομεν τὰ ἑξῆς προσόμοια.

Ἦχος δ'. Ὡς γενναῖον Μάρτυσι.

Τὸ τῆς χάριτος σκήνωμα, ὑποφήτην τὸν ἔνθεον, τὸν Ἁγίῳ Πνεύματι ὑφηγούμενον, Θεοῦ τὴν δόξαν τὴν ἄρρητον, καὶ βίου λαμπρότητος, τὰς ἀΰλους δωρεάς· τὴν θεόπνευστον σάλπιγγα, τὴν σαλπίζουσαν, ἐν τῷ κόσμῳ τῆς χάριτος τὸν λόγον, ἀνυμνήσωμεν ἀξίως, τὸν θεηγόρον Νικόδημον.

Λαμπρυνθεὶς θείῳ Πνεύματι, τὴν καρδίαν Νικόδημε, διδαγμάτων πέλαγος ἐκ χειλέων σου, τῇ Ἐκκλησίᾳ ἐπήγασας, καὶ ταύτης τὰς αὔλακας, ταῖς ἀρδείαις, δαψιλῶς, τῆς δοθείσης τῷ λόγῳ σου, Πάτερ χάριτος, ὡς φησὶν ὁ Δαβὶδ ἀεὶ μεθύσκεις, καὶ εὐφραίνεις τὰς χορείας, τῶν εὐσεβῶν τῇ σοφίᾳ σου.

Ὡς φωστῆρα νεόφωτον, Ἐκκλησίας ὑμνοῦμέν σε, ταύτην καταυγάζοντα θείοις λόγοις σου, ὡς εὐσεβείας διδάσκαλον, ὡς στόμα θεόσοφον, ἀρετῶν θεουργικῶν, ὡς ἐκφάντορα ἔνθεον, βίου κρείττονος, καὶ κιθάραν ἀσμάτων μιλιρρύτων, ἐκτελοῦντές σου τὴν μνήμην, τὴν παναγίαν Νικόδημε.

Προσόμοια ἕτερα.

Ἦχος πλ. δ'. Ὢ τοῦ παραδόξου θαύματος !

Χάρις δαψιλὴς τοῦ Πνεύματος, τοῦ Παναγίου σοφέ, τῇ ψυχῇ σου σκηνώσασα, ταύτην προκαθάραντος, ἀρετῶν ἐπιδόσεσιν, ὄργανον θεῖόν σε ἀπειργάσατο, καὶ θεορρήμονα· ὢ τῶν πανσόφων σου, διδαχῶν Νικόδημε ! δι' ὧν ἀεί, πάντες ρυθμιζόμεθα, πρὸς βίον κρείττονα.

Ρεῖθρα διδαγμάτων ἔβλυσας, οἷα πηγὴ λογική, ὑπὲρ μέλι γλυκάζοντα, καὶ ἡδύνοντα, τὰς καρδίας Νικόδημε· ὅτι ὡς δρόσος πέλει οὐράνιος, καὶ ζωῆς μάννα Πάτερ ὁ λόγος σου, τρέφων πρὸς αὔξησιν, νοητὴν ἑκάστοτε, τοὺς εὐσεβῶς, μελετῶντας Ὅσιε, τὰς θείας βίβλους σου.

Χῦμα σοφίας καὶ γνώσεως, παρὰ Θεοῦ εἰληφώς, ὡς πλατύνας τὸ στόμα σου, τῆς ψυχῆς Νικόδημε, θεωρίαις καὶ πράξεσι, ταμεῖον ὤφθης πάσης φρονήσεως, καὶ πρυτανεῖον θείων ἐλλάμψεων, νέμων διόρθωσιν, καταλλήλων ἅπασι, τοῖς εὐλαβῶς, τῇ διδασκαλίᾳ σου, Πάτερ ἐγκύπτουσι.

Δόξα. Ἦχος πλ. β'.

Σήμερον ἡμῖν ἐξέλαμψεν, ὡς ἀστὴρ ἑωθινός, ἡ τοῦ Ὁσίου διδασκάλου μνήμη, Νικοδήμου τοῦ οὐρανόφρονος, τὴν Ἐκκλησίαν καταλαμπρύνουσα· δεῦτε οὖν, οἱ τῶν λόγων αὐτοῦ ἐρασταί, ἐν πνεύματι καὶ ἀληθείᾳ ἑορτάσωμεν, πρὸς αὐτὸν βοῶντες· χαίροις ὁ δι' ἐναρέτου ζωῆς, τοῦ Ἁγίου Πνεύματος κατοικητήριον, τὸν νοῦν ἐργασάμενος· χαίροις θησαυροφυλάκιον ἔμπνουν, ἐν ᾧ πολυποικίλου σοφίας, θησαυροὶ ἀκένωτοι· χαίροις ὁ τῆς Νάξου θεῖος βλαστός, τοῦ Ἁγιωνύμου Ὄρους κοσμήτωρ, καὶ πάσης Ἐκκλησίας ὑφηγητὴς θεόσοφος. Πρέσβευε δεόμεθα Πάτερ, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν, Ὁ αὐτός.

Τὶς μὴ μακαρίσει σε Παναγία Παρθένε ; τὶς μὴ ἀνυμνήσει σου, τὸν ἀλόχευτον τόκον ; ὁ γὰρ ἀχρόνως ἐκ Πατρὸς ἐκλάμψας Υἱὸς μονογενής, ὁ αὐτὸς ἐκ σοῦ τῆς Ἁγνῆς προῆλθεν, ἀφράστως σαρκωθείς, φύσει Θεὸς ὑπάρχων, καὶ φύσει γενόμενος ἄνθρωπος δι' ἡμᾶς· οὐκ εἰς δυάδα προσώπων τεμνόμενος, ἀλλ' ἐν δυάδι φύσεων, ἀσυγχύτως γνωριζόμενος. Αὐτὸν ἱκέτευε, σεμνὴ παμμακάριστε, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Εἴσοδος, Φῶς ἱλαρόν, τὸ Προκείμενον τῆς ἡμέρας καὶ τὰ Ἀναγνώσματα.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔ-

δοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν, καὶ ἡ ἀφ' ἡμῶν πορεία σύντριμμα· οἱ δέ εἰσιν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων, ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης. Καὶ ὀλίγα παιδευθέντες μεγάλα εὐεργετηθήσονται. Ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτούς, καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ. Ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτούς, καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι, καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν ἔθνη, καὶ κρατήσουσι λαῶν, καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ' αὐτῷ συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ· ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι, καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν, καὶ ἡ φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ. Διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου· ὅτι τῇ δεξιᾷ αὐτοῦ σκεπάσει αὐτούς, καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λήψεται πανοπλίαν, τὸν ζῆλον αὐτοῦ καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν. Ἐνδύσεται θώρακα δικαιοσύνην, καὶ περιθήσεται κόρυθα, κρίσιν ἀνυπόκριτον. Λήψεται ἀσπίδα ἀκαταμάχητον, ὁσιότητα, ὀξυνεῖ δὲ ἀπότομον ὀργήν, εἰς ρομφαίαν· συνεκπολεμήσει αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας. Πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν, καὶ ὡς ἀπὸ εὐκύκλου τόξου, τῶν νεφῶν, ἐπὶ σκοπὸν ἁλοῦνται· καὶ ἐκ πετροβόλου θυμοῦ, πλήρεις ριφθήσονται χάλαζαι. Ἀγανακτήσει κατ' αὐτῶν ὕδωρ θαλάσσης, ποταμοὶ δὲ συγκλύσουσιν ἀποτόμως. Ἀναστήσεται αὐτοῖς πνεῦμα δυνάμεως, καὶ ὡς λαῖλαψ ἐκλικμήσει αὐτούς. Καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία, καὶ κακοπραγία περιτρέψει θρόνους Δυναστῶν. Ἀκούσατε οὖν Βασιλεῖς καὶ σύνετε, μάθετε δικασταὶ περάτων γῆς, ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν. Ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ὑμῖν, καὶ ἡ δυναστεία παρὰ Ὑψίστου.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.

Δίκαιος, ἐὰν φθάσῃ τελευτῆσαι, ἐν ἀναπαύσει ἔσται. Γῆρας γὰρ τίμιον, οὐ τὸ πολυχρόνιον, οὐδὲ ἀριθμῷ ἐτῶν μεμέτρηται. Πολιὰ δέ ἐστι φρόνησις ἀνθρώποις, καὶ ἡλικία γήρως βίος ἀκηλίδωτος. Εὐάρεστος Θεῷ γενόμενος, ἠγαπήθη, καὶ ζῶν μεταξὺ ἁμαρτωλῶν, μετετέθη. Ἡρπάγη, μὴ κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ ἢ δόλος ἀπατήσῃ ψυχὴν αὐτοῦ. Βασκανία γὰρ φαυλότητος, ἀμαυροῖ καλά, καὶ ρεμβασμὸς ἐπιθυμίας μεταλεύει

νοῦν ἄκακον. Τελειωθεὶς ἐν ὀλίγῳ, ἐπλήρωσε χρόνους μακρούς· ἀρεστὴ γὰρ ἦν Κυρίῳ ἡ ψυχὴ αὐτοῦ· διὰ τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας. Οἱ δὲ λαοὶ ἰδόντες, καὶ μὴ νοήσαντες, μηδὲ θέντες ἐπὶ διανοίᾳ τὸ τοιοῦτον, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

Εἰς τὴν Λιτήν, Ἰδιόμελα. Ἦχος α'.

Εὐφραίνου ἐν Κυρίῳ, ὁ περίβλεπτος Ἄθως, ὁ ἐκλεκτὸς τῆς Θεομήτορος, καὶ ἐξάκουστος κλῆρος· ἰδοὺ γὰρ ὡς οὐρανομήκης στύλος φωτός, ἐν σοὶ ἀναδέδεικται, ὁ θεοφόρος Νικόδημος, ὁ ἐν σοφίᾳ θεόληπτος, καὶ ἐν ἀρεταῖς θεοειδής· πολιτείᾳ γὰρ ἀμέμπτῳ, τῆς ἄνωθεν ἐπιπνοίας, τὰς ἐλλάμψεις ἐκληρώσατο· καὶ πανταχοῦ τὰς ἀκτῖνας, τῶν χαρίτων αὐτοῦ ἐκπέμπων, πρὸς τὰ ἔργα τοῦ φωτὸς ἰθύνει, τοὺς ἐν κατανύξει Θεῷ βοῶντας· Κύριε δόξα σοι.

Ἦχος β'.

Ἀσκητικῶς πολιτευσάμενος, τὸ χεῖρον τῷ κρείττονι ὑπέταξας, καὶ τῷ Θεῷ ἡνώθης Νικόδημε, τῇ ἀενάῳ προσευχῇ· καὶ ἐκ τῆς μακαρίας ἑνώσεως, τὰ θεῖα ἀμέσως μεμύηται, καὶ κατὰ Παῦλον τὸν θεῖον, ῥήματα ἄρρητα ἤκουσας, καὶ γράμμασιν ἐξέθηκας, ἃ πείρᾳ μεμάθηκας· ὅθεν ὡς φῶτα θεουργὰ τὰ σὰ λόγια, ἀπὸ ἀνατολῶν ἡλίου, μέχρι δυσμῶν ἐκλάμπουσι, πρὸς φωτισμὸν τῶν βοώντων· Κύριε δόξα σοι.

Ἦχος γ'.

Φιλοσοφίᾳ ἐκλάμπων, θεολογίας ὤφθης ὄργανον, καὶ τῆς ἐν πνεύματι ζωῆς, μυστογράφος πανάριστος· ὡς γὰρ πράξας διδάσκεις· καὶ τὸν ἐν Πατράσι συντετμημένον λόγον, ὡς φησὶν Ἡσαΐας, πολλαχῶς ἀνέπτυξας, ἐν δυνάμει λόγου πρακτικοῦ, καὶ θεοσδότου σοφίας κάλλει, πολύσοφε Νικόδημε· θεία γὰρ χάρις τοῖς χείλεσί σου ἐξεχύθη, καὶ τῶν ἀρρήτων γραμματέα σε ἔδειξεν, εἰς σωτηρίαν τῶν βοώντων· Κύριε δόξα σοι.

Ἦχος δ'.

Ὡς κρίνα ἐαρινὰ τῇ αὔρᾳ τοῦ Πνεύματος, ὀσμὴν ζωῆς διαπνέουσιν, ὡς ἐξ Ἐδὲμ προερχομένην, αἱ σαὶ θεόπνευστοι βίβλοι, παμμακάριστε Νικόδημε· εὐωδία γὰρ Χριστοῦ ἐγένου, τῇ καθαρᾷ πολιτείᾳ σου, καὶ τῶν παθῶν τὸ δυσῶδες διώκεις, τοῖς ἄνθεσι τῶν λόγων σου· ὡς γὰρ φιάλαι ἀρωμάτων. Γραφικῶς αἱ σιαγόνες σου, ἀρωματίζουσιν ἡμῖν, πλουσίως, τῶν ἀρετῶν τὴν γνῶσιν, καὶ τῶν θείων δογμάτων τὴν ἀκρίβειαν, πρὸς σωτηρίαν τῶν βοώντων· Κύριε δόξα σοι.

Δόξα. Ὁ αὐτός.

Τὸν ἐν Ὁσίοις σοφώτατον, καὶ ἐν διδασκάλοις Ὅσιον, Νικόδημον τὸν μέγαν, τῶν εὐσεβούντων τὰ πληρώματα, χρεωστικῶς μακαρίσωμεν· καθαγνισθεὶς γὰρ δι' ἀσκήσεως, τοῦ Παρακλήτου στόμα ἐγένετο· καὶ ἐν Ἐκκλησίᾳ Δαβιτικῶς πολλῇ, τὴν ἐν μυστηρίῳ θείαν σοφίαν ἐλάλησε· δι' ἧς τῶν Ὀρθοδόξων τὰς ψυχὰς ἐπαίδευσε, τὰ ἄνω φρονεῖν καὶ ζητεῖν, αἱρετικῶν δὲ τὰς φάλαγγας, κατεβρόντησεν· εἰς πᾶσαν γὰρ τὴν γῆν, ἐξῆλθεν ὁ φθόγγος αὐτοῦ, πρὸς δόξαν Χριστοῦ τοῦ Θεοῦ, καὶ Σωτῆρος τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον.

Ἐκ παντοίων κινδύνων τοὺς δούλους σου, φύλαττε εὐλογημένη Θεοτόκε, ἵνα σε δοξάζωμεν, τὴν ἐλπίδα τῶν ψυχῶν ἡμῶν

Εἰς τὸν Στίχον Στιχηρὰ Προσόμοια.

Ἦχος πλ. α'. Χαίροις ἀσκητικῶν.

Χαίροις τῶν Μοναχῶν καλλονή, τῆς νήσου Νάξου τὸ ἐξαίρετον βλάστημα, τοῦ Ἄθω ἡ εὐκοσμία· ὁ διαυγὴς ὀφθαλμός, γλῶσσα ἡδυτάτη καὶ θεόφθογγος, ἡ θείῳ ἐν Πνεύματι, φθεγγομένη καὶ γράφουσα, διδασκαλίας, οὐρανίου τὰ ῥήματα, καὶ νοήματα, τῶν Ἁγίων δυσνόητα, ἅπασιν ἑρμηνεύουσα, καὶ νοῦν διανοίγουσα, θεωριῶν ἀπορρήτων, εἰς πλάτος γνώσεως κρείττονος, Νικόδημε Πάτερ, ἐπιπνοίας θεοσδότου, ταμεῖον ἔμψυχον.

Στίχ. Τὸ στόμα μου λαλήσει σοφίαν...

Χαίροις ὁ τῆς σοφίας κρατήρ, θεολογίας ἀληθοῦς τὸ θησαύρισμα, τὸ κλέος τῶν Ὀρθοδόξων, ὁ θριαμβεύσας σοφῶς, τῶν αἱρετιζόντων τὰ σοφίσματα· κιθάρα ἡ εὔσημος, τῶν δογμάτων τῆς πίστεως, ἠθῶν ἀμέμπτων, φυτοκόμος θεόληπτος, καὶ διδάσκαλος, εὐσεβῶν ἐπιδόσεων· ὕψος ἐνθέου γνώσεως, καὶ βάθος φρονήσεως, πνευματικῶν νοημάτων, τὸ ἀνεξάντλητον πέλαγος, Νικόδημε Πάτερ, ὁ αἰτούμενος τοῖς πᾶσι τὴν θείαν ἔλλαμψιν.

Στίχ. Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον...

Χαίροις τῆς Ἐκκλησίας Χριστοῦ, φωστὴρ ὁ νέος ὁ λαμπρὸς καὶ πολύφωτος, τὸ στόμα τῶν θεολόγων, ὁ ζηλωτὴς ὁ θερμός, τῶν τῆς εὐσεβείας παραδόσεων· Γραφῶν ἡ ἀνάπτυξις, ἀπορρήτων σαφήνεια, ὁ θεραπεύων, ἐν τῷ λόγῳ τῆς χάριτος, ἀρρωστήματα, τῶν ψυχῶν τὰ ὀλέθρια· Λύ-

ρα ἡ παναρμόνιος, καὶ νάβλα ἡδύφωνος, ὕμνων καὶ θείων ἀσμάτων, Ὅσιε Πάτερ Νικόδημε· Χριστὸν ἐκδυσώπει, τοῖς τιμῶσί σε δοθῆναι, πταισμάτων ἄφεσιν.

Δόξα. Ἦχος πλ. δ΄.

Διδασκαλίας τὸν λόγον, γεωργήσας καλῶς, καρποὺς ζωῆς ἀθανάτου, τῇ Ἐκκλησίᾳ καρποφορεῖς, θεηγόρε Νικόδημε· ὡς γὰρ δένδρα ἀειθαλῆ, ἐν διεξόδοις τῶν ὑδάτων τῆς χάριτος, τὰ σὰ θεοτύπωτα τεύχη, διὰ παντὸς προσάγουσιν ἡμῖν, γνῶσιν τὴν σωτήριον, ὡς γλυκασμὸν οὐράνιον· δι' οὗ τῶν παθῶν τῆς πικρίας ρυόμενοι, κομιζόμεθα παρὰ Χριστοῦ, εἰρήνην καὶ μέγα ἔλεος.

Καὶ νῦν. Θεοτοκίον.

Ἀνύμφευτε Παρθένε, ἡ τὸν Θεὸν ἀφράστως συλλαβοῦσα σαρκί, Μήτηρ Θεοῦ τοῦ Ὑψίστου, σῶν ἱκετῶν παρακλήσεις δέχου Πανάμωμε, ἡ πᾶσι χορηγοῦσα, καθαρισμὸν τῶν πταισμάτων· νῦν τὰς ἡμῶν ἱκεσίας προσδεχομένη, δυσώπει σωθῆναι πάντας ἡμᾶς.

Νῦν ἀπολύεις, τὸ Τρισάγιον καὶ τὸ Ἀπολυτίκιον.

Ἦχος γ΄. Τὴν ὡραιότητα.

Σοφίας χάριτι, Πάτερ κοσμούμενος, σάλπιγξ θεόφθογγος, ὤφθης τοῦ Πνεύματος, καὶ ἀρετῶν ὑφηγητής, Νικόδημε θεηγόρε· πᾶσι γὰρ παρέθηκας, σωτηρίας διδάγματα, βίου καθαρότητος, διεκφαίνων τὴν ἔλλαμψιν, τῷ πλούτῳ τῶν ἐνθέων σου λόγων, δι' ὧν ὡς φῶς τῷ κόσμῳ ἔλαμψας.

Ἕτερον. Ἦχος α΄. Τῆς ἐρήμου πολίτης.

Τὸν τοῦ Ἄθω φωστῆρα καὶ τῆς Νάξου τὸ βλάστημα, καὶ τῆς Ἐκκλησίας ἁπάσης, τὸν θεόπνουν διδάσκαλον, Νικόδημον τιμήσωμεν πιστοί, ὡς ἔμπλεων σοφίας θεϊκῆς· διδαχὰς γὰρ οὐρανίους καὶ δαψιλεῖς, βλυστάνει τοῖς κραυγάζουσι· δόξα τῷ σὲ δοξάσαντι Χριστῷ,, δόξα τῷ σὲ στεφανώσαντι, δόξα τῷ χορηγοῦντι διὰ σοῦ, ἡμῖν τὰ πρόσφορα.

Θεοτοκίον.

Τοῦ Γαβριὴλ φθεγξαμένου σοι Παρθένε τὸ χαῖρε, σὺν τῇ φωνῇ ἐσαρκοῦτο ὁ τῶν ὅλων Δεσπότης, ἐν σοὶ τῇ ἁγίᾳ κιβωτῷ, ὡς ἔφη ὁ δίκαιος Δαβίδ. Ἐδείχθης πλατυτέρα τῶν οὐρανῶν, βαστάσασα τὸν Κτίστην σου. Δόξα τῷ ἐνοικήσαντι ἐν σοί, δόξα τῷ προελθόντι ἐκ σοῦ, δόξα τῷ ἐλευθερώσαντι ἡμᾶς, διὰ τοῦ τόκου σου.

ΑΠΟΛΥΣΙΣ (τοῦ ἑσπερινοῦ)

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετὰ τὴν α΄. Στιχολογίαν, Κάθισμα.

Ἦχος α΄. Χορὸς Ἀγγελικός.

Χοροὶ τῶν Μοναστῶν, τὴν ἁγίαν σου μνήμην, συνῆλθον εὐλαβῶς, ἑορτάσαι προθύμως, Νικόδημε Ὅσιε, εὐσεβείας διδάσκαλε· οὓς εὐλόγησον, ἐπισκοπῇ σου ἀΰλῳ, μετὰ πίστεως, προσπτυσσομένους θεόφρον, τὴν πάντιμον κάραν σου.

Δόξα. Ὅμοιον.

Σοφίας θεϊκῆς, ἐλλαμφθεὶς ταῖς ἀκτῖσι, ρημάτων ἱερῶν, θησαυρὸν ἐξηρεύξω, Νικόδημε Ὅσιε, εὐσεβείας διδάσκαλε, δι' ὧν πάντοτε, ἡμᾶς παιδεύεις παμμάκαρ, πρὸς ἀνάβασιν, τῆς ἐν Χριστῷ κεκρυμμένης, ζωῆς καὶ λαμπρότητος.

Καὶ νῦν. Θεοτοκίον.

Τῆς δόξης σου Ἁγνή, τὰ πολλὰ μεγαλεῖα, ὑμνῶν δαβιτικῶς, ἐν ᾠδαῖς ἡδυφθόγγοις, Νικόδημος ὁ Ὅσιος, ἀνεβόα τὸ χαῖρέ σοι, Ἀπειρόγαμε, Εὐλογημένη Μαρία, κόσμου γέφυρα, πρὸς τὸν Θεὸν καὶ Σωτῆρα, καὶ Ἄθω ἀντίληψις.

Μετὰ τὴν β΄. Στιχολογίαν, Κάθισμα.

Ἦχος δ΄. Ταχὺ προκατάλαβε.

Λειμὼν εὐωδέστατος, τῶν θεοπνεύστων Γραφῶν, ἐδείχθης Νικόδημε, τῇ καθαρᾷ σου ζωῇ, καὶ μύστης θεόληπτος· τούτων γὰρ τῇ μελέτῃ, ἐντρυφῶν καθ' ἑκάστην, γνώσεως οὐρανίου, τὴν ὀσμὴν ἐκομίσω, δι' ἧς Πάτερ εὐφραίνεις, τοὺς σὲ μακαρίζοντας.

Δόξα. Ὅμοιον.

Ὁσίως ἐβίωσας, καὶ ἐναρέτως σοφέ, καὶ πάντας ἐξέπληξας, ἐν τῇ σοφίᾳ τῇ σῇ, Νικόδημε Ὅσιε· εὔφρανας Ὀρθοδόξων, τοὺς χοροὺς τῷ σῷ λόγῳ, ἔλυσας κακοδόξων, τὰς μωρὰς σοφιστείας· διό σου τὴν ἐτήσιον, μνήμην γεραίρομεν.

Καὶ νῦν. Θεοτοκίον.

Ἀσπόρως συνέλαβες τὸν Ποιητὴν τοῦ παντός, ἀφθόρως δὲ τέτοκας, ἐκ τῶν αἱμάτων τῶν σῶν, Χριστὸν τὸν Θεὸν ἡμῶν· ὅθεν σε σωτηρίας, ἀπαρχὴν κεκτημένοι, ὑμνοῦμέν σε Θεοτόκε, ὡς ἡμῶν προστασίαν, καὶ πίστει μεγαλύνομεν, τὴν δόξαν σου Ἄχραντε.

Μετὰ τὸ πολυέλεον, Κάθισμα.

Ἦχος πλ. δ΄. Τὴν Σοφίαν καὶ Λόγον.

Σοφίαν τὴν θείαν πεπλουτηκώς, πάσης γνώσεως πλοῦτον πνευματικόν, ἠρεύξω μακάριε, ἐκ θησαυροῦ τῆς καρδίας σου, καὶ τροφοδότης ὤφθης, τῷ λόγῳ τῆς χάριτος, τῶν εὐσεβῶν ἐκτρέφων, ψυχὴν καὶ διάνοιαν· ὅθεν καὶ τὰ ἤθη, τῶν ἀνθρώπων ρυθμίζων, τοῖς πᾶσιν ὑπέδειξας, σωτηρίας τὴν ἔλλαμψιν, θεοφόρε Νικόδημε Πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ, τὴν ἁγίαν μνήμην σου.

Δόξα, καὶ νῦν. Θεοτοκίον.

Σωματώσασα Κόρης δίχα τροπῆς, ἐξ ἁγνῶν σου αἱμάτων ὑπερφυῶς, Χριστὸν τὸν Θεὸν ἡμῶν. διὰ σπλάγχνα χρηστότητος, ἡμᾶς πρὸς τὴν ἀρχαίαν, ζωὴν ἐπανήγαγες, νεκρώσασα τὸν ὄφιν, τῷ τόκῳ σου Ἄχραντε. Ὅθεν εὐγνωμόνως, εὐχαρίστους ᾠδάς σοι, ἀεὶ ἐξυφαίνομεν, τὴν σὴν χάριν δεχόμενοι, Θεοτόκε βοῶντές σοι. Πρέσβευε τῷ σῷ Υἱῷ καὶ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς καταφεύγουσι πόθῳ, τῇ σκέπῃ σου Δέσποινα.

Τὸ α΄. Ἀντίφωνον τοῦ δ΄. Ἤχου καὶ τὸ Προκείμενον.

Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου αὐτοῦ.

Στίχ. Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον.

Εὐαγγέλιον Ὁσιακόν.

Ὁ Ν΄. Δόξα. Ταῖς τοῦ σοῦ Ὁσίου.

Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου.

Ἰδιόμελον. Ἦχος πλ. β΄.

Στίχ. Ἐλέησόν με ὁ Θεός...

Ὁ τῆς Ἐκκλησίας νεοφανὴς ἑωσφόρος, καὶ τῶν Μοναστῶν, θεοειδὴς διδάσκαλος, Νικόδημος ὁ θεόληπτος, τὸν τῆς ἀρετῆς, κάλλιστον τελέσας δρόμον, πρὸς οὐρανίους σκηνὰς ἀνίπταται· τοὺς δὲ τὴν σεπτὴν αὐτοῦ μνήμην ἑορτάζοντας, ταῖς πατρικαῖς εὐλογίαις ἀμείβεται, καὶ πᾶσιν αἰτεῖται, τὸ μέγα ἔλεος.

(Συνεχίζεται)

ΑΡΧΙΜΑΝΔΡΙΤΟΥ ΑΙΜΙΛΙΑΝΟΥ ΤΣΑΚΟΠΟΥΛΟΥ
ΑΡΧΕΙΟΦΥΛΑΚΟΣ ΤΟΥ ΟΙΚΟΥΜΕΝΙΚΟΥ ΠΑΤΡΙΑΡΧΕΙΟΥ

ΠΕΡΙΓΡΑΦΙΚΟΣ ΚΑΤΑΛΟΓΟΣ
ΤΩΝ ΧΕΙΡΟΓΡΑΦΩΝ
ΤΗΣ ΒΙΒΛΙΟΘΗΚΗΣ ΤΟΥ ΟΙΚΟΥΜΕΝΙΚΟΥ ΠΑΤΡΙΑΡΧΕΙΟΥ

Β'

«ΤΜΗΜΑ ΧΕΙΡΟΓΡΑΦΩΝ Ι.ΜΟΝΗΣ ΑΓ.ΤΡΙΑΔΟΣ ΧΑΛΚΗΣ» *)

7) φ. 61—68 α : «Τοῦ αὐτοῦ; εἰς τὸν Λάζαρον καὶ ὅτι αἱ ψυχαὶ τῶν βιαίῳ θανάτῳ ἀναιρουμένων οὐ γίνονται δαίμονες καὶ περὶ κρίσεως καὶ ἐλεημοσύνης».

Ἀρχ. : «Θαύμασα τὴν ἀγάπην ὑμῶν». 69)

8) φ. 68 β—78 β : «Τοῦ αὐτοῦ, εἰς τὸν Λάζαρον καὶ τίνος ἕνεκεν οὐκ εἶπεν, ἔλαβες τὰ ἀγαθά σου ἐν τῇ ζωῇ σου, ἀλλ' ἀπέλαβες καὶ διατί οἱ μὲν δίκαιοι κινδύνοις πολλάκις περιπίπτουσιν, οἱ δὲ ἁμαρτωλοὶ τούτους διαφεύγουσιν». 70)

Ἀρχ. : «Οὐ τὰ τυχόντα ἡμᾶς ὤνησεν».

9) φ. 78 β—85 α : «Τοῦ αὐτοῦ εἰς τὸν Λάζαρον καὶ ὅτι τὸ συνειδὸς εἴωθεν ἡμᾶς πρὸς μίμησιν εἰς παλαιὰ ἁμαρτήματα». 71)

Ἀρχ. : «Τῆς τοῦ Λαζάρου παραβολῆς τὸ τέλος».

10) φ. 86 α—138 β : «Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἰωάννου ἀρχιεπισκόπου κωνσταντινουπόλεως τοῦ Χρυσοστόμου λόγος α'., β'., γ'', δ'. καὶ στ'.».

11) φ. 139 α—146 β : «Τοῦ αὐτοῦ περὶ ἀκαταλήπτου ἀπόντος τοῦ Ἐπισκόπου πρὸς ἀνομίους». 72)

---

*) Συνέχεια ἐκ τοῦ προηγουμένου σελ. 94.

69) Migne τόμ. 48, στήλ. 963.
70) » » » » 991
71) » » » » 1005
72) » » » » 701

Ἀρχ. : «Τί τοῦτο ; ὁ ποιμὴν οὐ πάρεστι καὶ τὰ πρόβατα μετὰ πολλῆς εὐταξίας ἕστηκε.»

12) φ. 146 β—153 α : «Τοῦ αὐτοῦ, πρὸ πολλῶν ἡμερῶν πρὸς ἀνομίους εἰπόντος, εἶτα πρὸς Ἰουδαίους, εἶτα σιγήσαντος διὰ παρουσίαν ἐπισκόπων καὶ μαρτύρων μνήμας πολλῶν γενομένας, νῦν πάλιν πρὸς ἀνομίους περὶ ἀκαταλήπτου». 73)

Ἀρχ. : «Φέρε δὴ πάλιν πρὸς τοὺς ἀπίστους Ἀνομίους ἀποδυσώμεθα».

13) φ. 153 α—159 β : «Τοῦ αὐτοῦ, περὶ ἀκαταλήπτου καὶ ὅτι οὐδὲ ἡ συγκατάβασις τοῦ Θεοῦ φορητὴ τοῖς Σεραφείμ». 74)

Ἀρχ. : «Οἱ φιλόπονοι τῶν γεωργῶν, ἐπειδὰν ἴδωσι δένδρον ἄκαρπον καὶ ἀνήμερον τοῖς αὐτῶν λυμαινόμενον πόνοις».

14) φ. 159 β—165 β : «Τοῦ αὐτοῦ, περὶ ἀκαταλήπτου λόγοι». 75)

Ἀρχ. : «Ἤρκει μὲν οὖν δείξαντα πρώην ἀνθρώποις ἀκατάληπτον ὄντα Θεόν».

15) φ. 165 β—172 β : «Τοῦ αὐτοῦ, περὶ ἀκαταλήπτου λόγος ε΄.» 76)

Ἀρχ. : «Ἐπειδὰν μέλλῃ τις τῆς μακροτέρας ὑποθέσεως ἅπτεσθαι».

16) φ. 172 β—176 β : «Τοῦ αὐτοῦ, περὶ ἀκαταλήπτου λόγος στ΄. 77)

Ἀρχ. : «Μίαν ὑμῖν ἡμέραν, καὶ ἀπὸ τῆς ἡμέρας ἐκείνης».

17) φ. 176 β—183 β : «Τοῦ αὐτοῦ, πρὸς τὰς ἱπποδρομίας ἀπελθόντας καὶ εἰς τὸ ρητὸν τοῦ Εὐαγγελίου : «Εἰσέλθετε διὰ τῆς στενῆς πύλης, ὅτι πλατεῖα ἡ πύλη, καὶ εὐρύχωρος ἡ ὁδὸς ἡ ἀπάγουσα εἰς τὴν ἀπώλειαν καὶ πολλοί εἰσιν οἱ εἰσερχόμενοι δι' αὐτῆς». 78)

Ἀρχ. : «Βούλομαι τῆς συνήθους ἅψασθαι διδασκαλίας».

---

73) Migne » » » 709
74) » » » » 720
75) » » » » 728
76) » » » » 735
77) » » » » 747
78) » » » » 1048.

18) φ. 183 β—186 β : «Τοῦ αὐτοῦ, εἰς ρητὸν τοῦ προφήτου Ἠσαΐου τὸ λέγον : καὶ ἐγένετο τοῦ ἐνιαυτοῦ οὗ ἀπέθανεν ὀζίας ὁ βασιλεύς, εἶδον τὸν κύριον καθήμενον ἐπὶ θρόνου ὑψηλοῦ καὶ ἐπηρμένον». 79)

Ἀρχ. : «Χαίρω συντρέχοντας ὑμᾶς ὁρῶν πρὸς τὴν ἀκρόασιν τῶν θείων λογίων καὶ τεκμήριον μέγιστον τοῦτο ποιοῦμαι τῆς κατὰ Θεὸν ὑμῶν προκοπῆς.

19) φ. 186 β—191 β : «Τοῦ αὐτοῦ εἰς τὴν πρώτην τῶν παραλειπομένων τὴν λέγουσαν : ὑψώθη ἡ καρδία Ὀζίου καὶ περὶ ταπεινοφροσύνης καὶ ὅτι χρὴ μὴ θαρρεῖν τὸν ἐνάρετον καὶ ὅσον κακὸν ἡ ἀπόνοια», ὁμιλία γ'.» 80)

Ἀρχ. : «Εὐλογητὸς ὁ Θεὸς καὶ ἐπὶ τῆς γενεᾶς τῆς ἡμετέρας ἐβλάστησαν μάρτυρες, κατηξιώθημεν καὶ ἡμεῖς ἀνθρώπους ἰδεῖν ὑπὲρ Χριστοῦ σφαττομένους».

20) φ. 191 β—198 α : «Εἰς τὸ αὐτὸ ρητὸν τοῦ προφήτου Ἠσαΐου καὶ ἔπαινος τῆς πόλεως ἀντιοχείας καὶ κατὰ κωλυόντων τὸν γάμον ἔνθεος ἀπόδειξις». 81)

Ἀρχ. : «Λαμπρὸν ἡμῖν σήμερον θέατρον γέγονε καὶ φαιδρὸς ὁ σύλλογος.»

21) φ. 198 α201 β : Εἰς τὸ ρητὸν τοῦ προφήτου Ἠσαΐου «εἶδον τὸν κύριον καὶ ἡ ἀπόδειξις, ὅτι δικαίως ἐλεπρώθη ὀζίας ἀναξίως θυμιάσας, ὅπερ οὐκ ἔξεστι βασιλεῦσιν, ἀλλ' ἱερεῦσιν». 82)

Ἀρχ. : «Φέρε σήμερον τοῖς κατὰ τὸν ὀζίαν διηγήμασιν ἀποδῶμεν τὸ τέλος».

22) φ. 201 β—205 β : «Τοῦ αὐτοῦ εἰς τὰ σεραφείμ» 83)

Ἀρχ. : «Μόλις ποτὲ τὸ κατὰ τὸν Ὀζίαν διεπλεύσαμεν πέλαγος».

23) φ. 205 β—208 α : «Τοῦ αὐτοῦ εἰς τὸν πολύαθλον ἰώβ, λόγος α'.».

---

79) Migne τόμ. 56, στήλ. 107.
80) » » » » 112.
81) » » » » 119
82) » » » » 129
83) » » » » 135

'Αρχ. : «Τὰ μεγάλα τῶν πραγμάτων μεγάλων δεῖται διηγημάτων καὶ αἱ λαμπραὶ τῶν δικαίων ἱστορίαι λαμπρὰς δέονται καὶ γλώττης καὶ διανοίας, διανοίας μὲν εἰλικρινῶς τὰ θείας Γραφὰς θεωρούσης, γλώττης δὲ τρανῶς τὰ θεῖα ἑρμηνευούσης».

24) φ. 208 α—213 β : «Τοῦ αὐτοῦ ὁμιλία εἰς τὸν καρτερικώτατον 'Ιώβ, λόγος β'.).

'Αρχ. : «Φέρε, καὶ ἡμεῖς ἁψώμεθα τῆς ὑποθέσεως καὶ ὑμεῖς τῆς ἀκροάσεως».

25) φ. 213 β—219 α : «Τοῦ αὐτοῦ, ὁμιλία εἰς τὸν μακάριον ἰώβ», λόγος γ'.».

'Αρχ· : «Πανταχοῦ μὲν καὶ ἐπὶ πάντων, ὡς εἰπεῖν, τῶν θείων διηγημάτων κατώτεροι τῶν πραγμάτων οἱ λόγοι καὶ ἀσθενέστεροι αἱ λέξεις τῶν ὑποθέσεων».

26) φ. 219 α—222 α : «Τοῦ αὐτοῦ εἰς τὸν μαρτυρικώτατον ἰὼβ λόγος δ'.».

'Αρχ. : «῏Ηκεν ἡμῖν ἐνιαύσιος σήμερον ὁ τῆς οἰκουμένης ἀθλητής».

Τὸ φ. 222 β εἶναι λευκόν.

27) φ. 223—257 : «'Εκλογαὶ διαφόρων λόγων τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν ἰωάννου ἀρχιεπισκόπου κωνσταντινουπόλεως, περὶ τύχης, περὶ μετανοίας, περὶ νηστείας κάὶ σωφροσύνης». 84)

(121) ΑΡΙΘΜ. 129.

'Ονομασία

Λόγοι διαφόρων Πατέρων

'Εποχὴ

ΧV αἰῶνος.

84) Οἱ ὡς ἄνω λόγοι 'Ιωάννου τοῦ Χρυσοστόμου θεωροῦνται νόθοι.

Χαρακτηρισμοί

Χάρτ. 0,28X0,20. φ. 334. Σελίδες μονόστηλοι. Στίχοι σελίδων. Κῶδιξ ἀνορθόγραφος.

Περιεχόμενον

Χειρόγραφον ἄναρχον καὶ ἀτελές, οὗτινος τὸ σωζόμενον ἄρχεται μὲν τῶν λέξεων «ὁρᾶς πῶς καὶ ἑτέρωθεν παραλύει τὰς ἔχθρας» λήγει δὲ εἰς τὰς λέξεις : «τὸν δεσπότην ἐπεβιβάσαντος».

1) Ἡ ἑξηκοστὴ τῆς εἰς τὸ κατὰ Ματθαῖον Εὐαγγέλιον ἑρμηνεία Ἰωάννου τοῦ Χρυσοστόμου. Ἄναρχος.

2) Ἡ ἑξηκοστὴ δευτέρα τῆς αὐτῆς ἑρμηνείας.

3) Ἡ ἑβδομηκοστὴ ἐνάτη τῆς αὐτῆς ἑρμηνείας.

4) Ἡ ὀγδοηκοστὴ τῆς αὐτῆς.

5) «Συμεὼν Μοναχοῦ : περὶ τοῦ δεῖν πάντοτε τῶν οἰκείων ἁμαρτιῶν τὴν ἐξομολόγησιν ποιεῖσθαι, καὶ διὰ παντὸς πρὸ ὀφθαλμὸν ἔχειν τὸν φόβον τοῦ Θεοῦ».

Ἀρχ. : Ἀγαθὸν τὸ ἐξομολογεῖσθαι τῷ Κυρίῳ».

6) Τοῦ αὐτοῦ, περὶ προσευχῆς.

7) Τοῦ αὐτοῦ λόγος περὶ ἁγνείας καὶ σωφροσύνης καὶ τοῦ ἀπέχεσθαι πορνείας καὶ λαγνείας καὶ ἀσωτείας.

Ἀρχ. : «Δεῦρο δὴ πάλιν ἀθλία ψυχή».

8) Λόγος κατανυκτικὸς καὶ περὶ ἐλεημοσύνης.

Ἀρχ. : «Δεῦρο δὴ πάλιν ταπεινή μου ψυχή».

9) Λόγος περὶ ὑπομονῆς πάνυ ὠφέλιμος.

Ἀρχ. : «Ὥσπερ οἱ τὴν χρυσῆτιν διορύσσοντες γῆν».

10) Λόγος περὶ ἐξομολογήσεως καὶ καταγνώσεως τῶν οἰκείων ἁμαρτιῶν.

Ἀρχ. : «Δεῦρο δὴ οὖν ψυχὴ ταλαίπωρε δεῦρο».

11) Ἡ δεκάτη ὀγδόη τῆς εἰς τὸ κατὰ Ματθαῖον Εὐαγγέλιον ἑρμηνείας Ἰωάννου τοῦ Χρυσοστόμου.

12) Ἡ δεκάτη ἑβδόμη τῆς αὐτῆς ἑρμηνείας.

13) Ἡ δωδεκάτη τῆς αὐτῆς.

14) Ἡ δεκάτη τρίτη τῆς αὐτῆς.

15) Ἡ δεκάτη τετάρτη τῆς αὐτῆς.

16) Ἡ πεντηκοστὴ ἑβδόμη τῆς αὐτῆς.

17) Τοῦ αὐτοῦ λόγος εἰς τὸν Σταυρὸν καὶ εἰς τὸ ρητὸν τοῦ προφήτου Ἀββακοὺμ : «κύριε εἰσακήκοα τὴν ἀκοήν σου καὶ ἐφοβήθην».

Ἀρχ. : «Καλῶς ἡμῖν καὶ σοφῶς ἡ προηγησαμένη γλῶσσα».

18) Τοῦ αὐτοῦ λόγος εἰς τὸ «πλὴν μάτην ταράσσεται πᾶς ἄνθρωπος».

Ἀρχ. : «Προτρέπεται καὶ κόλπος βύθιος ἁλιεία».

19) Τοῦ αὐτοῦ εἰς τὸν πεντηκοστὸν ψαλμὸν περὶ τῆς Οὐρίου γυναικός.

Ἀρχ. : «Οἱ ζωγράφοι μιμοῦνται τῇ τέχνῃ τὴν φύσιν».

20) Τοῦ αὐτοῦ περὶ ἐλεημοσύνης. 85)

Ἀρχ. : Πάλιν ἡμῖν παρὰ τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος».

21) Τοῦ αὐτοῦ εἰς τοὺς λέγοντας ὅτι δαίμονες διοικοῦσι τὰ ἀνθρώπινα.

Ἀρχ. : «Ἐγὼ μὲν ἤλπιζον τῇ συνεχείᾳ».

22) Τοῦ αὐτοῦ παραβολὴ εἰς τὸν ἄσωτον. 86)

Ἀρχ. : «Πάλιν οἱ κόλποι τοῦ Χριστοῦ ἀπαύστως».

23) Τοῦ αὐτοῦ πρὸς τοὺς τὰς συνάξεις καταλιμπάνοντας, καὶ εἰς θέατρα ἀναβαίνοντας.

---

85) Θεωρεῖται νόθος.
86) » »

Ἀρχ. : «Οὐκ οἶδα ποίους χρήσομαι λόγους σήμερον».

24) Τοῦ αὐτοῦ εἰς τὸ περιῆλθεν βαλεῖν ἐπὶ τὴν γῆν.

Ἀρχ. : «Ἁγίων νηπίων φιλότεκνοι μητέρες».

25) Τοῦ αὐτοῦ εἰς τὸ παρέστη ἡ βασίλισσα ἐκ δεξιῶν μου.

Ἀρχ. : «Ἡδὺ μὲν λειμὼν καὶ παράδεισος».

26) «Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Γρηγορίου ἐπισκόπου Ἀντιοχείας, λόγος εἰς τὴν Θεόσωμον ταφὴν καὶ τριήμερον ἀνάστασιν τοῦ Κυρίου ἡμῶν Ι. Χ., τῇ ἁγίᾳ καὶ μεγάλῃ Κυριακῇ τοῦ Πάσχα».

Ἀρχ. : «Ἐπαινετὸς καὶ οὗτος τῆς Ἐκκλησίας ὁ νόμος».

27) Ἰωάννου τοῦ Χρυσοστόμου «εἰς τὸ ἐξῆλθεν ἅμα πρωῒ μισθώσασθαι ἐργάτας εἰς τὸν ἀμπελῶνα αὐτοῦ». 87)

Ἀρχ. : «Ὁρῶ τῇ ποίμνῃ τῶν ἀσεβῶν».

28) Ἡ δευτέρα τῆς εἰς τὴν πρὸς Ἑβραίους ἐπιστολὴν ἑρμηνείας, ὁμιλία τοῦ Χρυσοστόμου.

29) Ἡ ὀγδόη εἰς τὴν πρώτην πρὸς Θεσσαλονικεῖς ἐπιστολὴν ἑρμηνείας, ὁμιλία τοῦ Χρυσόστόμου.

30) Τοῦ αὐτοῦ λόγος περὶ κατανύξεως καὶ ἐλεημοσύνης.
Ἀρχ. : «Ἆρα οἴδατε πόθεν ἡμῖν ὁ λόγος πρώην ἤρξατο».

31) Τοῦ αὐτοῦ περὶ μετανοίας.

Ἀρχ. : «Εἰ χθὲς ἡμῶν ἀπελείφθη».

32) Ἡ τριακοστὴ πρώτη εἰς τὴν Γένεσιν ὁμιλία τοῦ Χρυσοστόμου.

33) Τοῦ αὐτοῦ κατανυκτικὸς εἰς τὸν μάταιον βίον.

Ἀρχ. : «Ὅσοι τοῦ βίου μάταια».

34) Τοῦ αὐτοῦ περὶ τοῦ κριτοῦ τῆς ἀδικίας καὶ περὶ προσευχῆς.

Ἀρχ. : «Ὅτι μὲν παντὸς ἀγαθοῦ κεφάλαιόν ἐστιν ἡ προσευχή».
35) Τοῦ αὐτοῦ λόγος τῇ Κυριακῇ τοῦ Τελώνου καὶ Φαρισαίου. 88)

87) Θεωρεῖται νόθος.
88) » »

Ἀρχ. : «Οἱ πόρρωθεν τοὺς λειμῶνας θεασάμενοι».

36) Τοῦ αὐτοῦ λόγος, εἰς τὴν παραβολὴν τοῦ ἀσώτου υἱοῦ. 89)

Ἀρχ. : «Ἀεὶ μὲν τὴν τοῦ Θεοῦ φιλανθρωπίαν κηρύττειν ὀφείλομεν».

37) Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ὑπολύτου (οὕτω) Πάπα Ρώμης, λόγος περὶ τῆς συντελείας τοῦ αἰῶνος τούτου καὶ περὶ ἀντιχρίστου τοῦ μέλλοντος βασιλεῦσαι ἐπὶ τῆς γῆς καὶ εἰς τὴν δευτέραν παρουσίαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ.

Ἀρχ. : «Ἐπειδὴ οἱ μακάριοι προφῆται».

38) Ἰωάννου τοῦ Χρυσοστόμου, λόγος περὶ ὑπομονῆς καὶ εὐχαριστίας. 90)

Ἀρχ. : «Φέρε δῆμοι σήμερον καὶ μάλιστα τῶν προτέρων».

39) Τοῦ αὐτοῦ λόγος περὶ τῶν πτωχῶν καὶ πλουσίων. 91)

Ἀρχ. : «Οἱ λειμῶνες ἔχουσι ποικίλα καὶ διάφορα ἄνθη».

40) Τοῦ αὐτοῦ, περὶ συντελείας αἰώνων.

Ἀρχ. : «Ὅταν ἄρξωμαι περὶ συντελείας λαλεῖν». 92)

41) Τοῦ αὐτοῦ. Ἐλέχθη κατὰ τῶν παρατηρούντων τὰς νεομηνίας καὶ κατὰ τὴν πόλιν χορείας τελούντων καὶ εἰς τὸ ρητὸν τοῦ Ἀποστόλου τὸ Πάντα εἰς δόξαν Θεοῦ ποιεῖτε.

Ἀρχ. : «Καθάπερ χορὸς τὸν κορυφαῖον ἐπιζητεῖ».

42) Τοῦ αὐτοῦ, ὁ περὶ ἀκαταλήπτου πέμπτος λόγος.

43) Τοῦ αὐτοῦ, περὶ τοῦ κατὰ Θεὸν πολιτεύεσθαι καὶ ἑρμηνεία τῆς προσευχῆς τῆς εἰς τὸ Πάτερ ἡμῶν.

Ἀρχ. : «Πάσης μὲν θεοπνεύστου γραφῆς».

44) Τοῦ αὐτοῦ, περὶ ταπεινοφροσύνης καὶ ἐλεημοσύνης.

---

89) Θεωρεῖται νόθος.
90) » »
91) » »
92) » »

Ἀρχ. : «Φέρε τῆς ζάλης τῶν τοῦ βίου πραγμάτων ἀπαλλαγέντες».

45) Τοῦ αὐτοῦ περὶ ὑπομονῆς. 93)

Ἀρχ. : «Οἱ διψῶντες ὁδοιπόροι».

46) Τοῦ αὐτοῦ, λόγος μετὰ τὰς καλάνδας καὶ κατὰ μεθυόντων καὶ περὶ τῶν εἰς καπηλεῖα εἰσιόντων καὶ ὅτι τὸν διδάσκαλον οὐ χρὴ ἀπογιγνώσκειν τῶν μαθητῶν, κἂν μὴ πρὸς τὸ παρὸν οὐ πείθονται καὶ εἰς τὸν Λάζαρον.

Ἀρχ. : «Τὴν χθὲς ἡμέραν ἑορτὴν οὖσαν».

47) Τοῦ αὐτοῦ εἰς τὸν Λάζαρον.

Ἀρχ. : «Ἴδετε Θεοῦ δύναμιν, ἴδετε Θεοῦ φιλανθρωπίαν».

48) Τοῦ αὐτοῦ λόγος εἰς τὸν Λάζαρον.

Ἀρχ. : «Ἐθαύμασα τὴν ἀγάπην ὑμῶν».

49) Τοῦ αὐτοῦ λόγος εἰς τὸν Λάζαρον.

Ἀρχ. : «Οὐ τὰ τυχόντα ἡμᾶς ἔνησεν».

50) Τοῦ αὐτοῦ λόγος εἰς τὸν Λάζαρον.

Ἀρχ. : «Τῆς τοῦ Λαζάρου παραβολῆς τὸ τέλος».

51) Εἰς τὴν παραβολὴν τοῦ τὰ μυρία τάλαντα καὶ τὰ δεινάρια ὀφείλοντος καὶ ὅτι παντὸς ἁμαρτήματος τὸ μνησικακεῖν χεῖρον.

Ἀρχ. : «Ὡς ἐκ μακρᾶς ἀποδημίας ἐπανελθών».

52) Τοῦ αὐτοῦ εἰς τὸν ψαλμὸν τὸν ριε΄. «Ἐπίστευσα διὸ ἐλάλησα» καὶ κατὰ Ἀριανῶν καὶ Μακεδονιανῶν αἱρέσεις.

Ἀρχ. : «Φασίν ποτε τὴν μέλισσαν κούφοις πτεροῖςς.

53) Τοῦ αὐτοῦ εἰς τὸ «Ὅσα ἂν δήσητε ἐπὶ τῆς γῆς ἔσται δεδεμένα ἐν τῷ οὐρανῷ» καὶ τῆς παραβολῆς τῶν ρ΄ προβάτων καὶ εἰς τὸ ρητὸν τοῦ ιη΄ ψαλμοῦ καὶ εἰς τὸ «ποσάκις ἐὰν ἁμαρτήσῃ εἰς ἐμὲ ὁ ἀδελφὸς ἀφήσω αὐτῷ ἑπτάκις». 94)

---

93) Θεωρεῖται νόθος.

94) » »

Ἀρχ. : «Μίαν ἔχουσα ἡ πηγὴ τοῦ ὕδατος τὴν φύσιν».

54) Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Βασιλείου ἀρχιεπισκόπου Καισαρείας Καππαδοκίας, λόγος προτρεπτικὸς εἰς τὸ ἅγιον βάπτισμα.

55) Εἰς τὸ «Ἔνθα ὁ ὁ Ἰησοῦς περιεπάτει ἐπὶ τῆς θαλάσσης καὶ εἰς τὸ ρητὸν τοῦ Ἀποστόλου : «Εἰ σὺ ὁ Χριστὸς κέλευσόν με ἐλθεῖν πρὸς σὲ ἐπὶ τὰ ὕδατα καὶ εἰς τὸν πρωτόπλαστον Ἀδὰμ καὶ τὴν Εὔαν. 95)

Ἀρχ. : «Ἄγαν αἰδέσιμον τράπεζαν παρέθηκεν ἡμῖν ὁ δαψιλὴς ἑστιάτωρ Χριστός».

56) Ἀναστασίου μοναχοῦ τοῦ Σινᾶ ὄρους, λόγος εἰς τὴν νηστείαν καὶ εἰς τὸν ἕκτον ψαλμόν.

Ἀρχ. : «Πρέπουσαν τῆς τῶν νηστειῶν ἀρχῆς εἰλικρινοῦς μετανοίας ὑπόθεσιν».

57) Τοῦ αὐτοῦ λόγος περὶ μετανοίας καὶ περὶ τῆς συνάξεως τῆς θείας καὶ μυστικῆς λειτουργίας καὶ περὶ τῶν ἀναξίως κοινωνούντων καὶ περὶ τοῦ μὴ κρίνειν τινά, μάλιστα δὲ τοὺς ἱερεῖς καὶ περὶ μνησικακιῶν καθόλου.

Ἀρχ. : «Ἀεὶ μὲν ἡ τοῦ ἁγίου Πνεύματος χάρις, διὰ πάσης τῆς τοῦ Θεοῦ γραφῆς».

58) Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἀνδρέου ἀρχιεπισκόπου Κρήτης, λόγος τῇ ἁγίᾳ Κυριακῇ τῶν Βαΐων.

Ἀρχ. : «Χθὲς ἡμᾶς μετὰ τοῦ δεσπότου Λάζαρος ἐστασιάσατο». Ἀτελής, οὗτινος τὸ σωζόμενον λήγει εἰς τὰς λέξεις, εἰς ἃς καὶ τὸ χειρόγραφον).

..Ἐπὶ τῆς σανίδος τοῦ δευτέρου πώματος ὑπάρχει δι' ἄλλης χειρὸς ἀγραμμάτου σημείωσις :

«1632 μαΐου 13 ἐπῆραν τὸ κάτεργο τοῦ ἀντραχουμάμπεϊ ξημέρομα κυριακὴ ἤμελεν νὰ ἔλθη ἡ παραμονὴ τοῦ ἁγίου Ἰσιδώρου τοῦ Χιοπολήτου καὶ ἐπίραν το ἀπὸ μέσα αὐτοπονήτως καὶ ἐπῆραν καὶ τὴν μησεὶν τζούρμα τοῦ μουσελήμπεϊ καὶ ἔφυγαν».

95) Θεωρεῖται νόθος.

(122) ΑΡΙΘΜ. 130)

Ὀνομασία

Λόγοι διάφοροι Ἰωάννου τοῦ Χρυσοστόμου

Ἐποχή

XIII αἰῶνος.

Χαρακτηρισμοί

Χάρτ. 0,22X0,15. φ. 325. Στίχοι σελίδων 28. Στάχωσις νεωτέρας ἐποχῆς. Διατήρησις μετρία. Ἐπὶ ἑκατέρου πώματος προσκεκόλλυται ἀνὰ ἓν φύλλον ἐκ μεμβράνης.

Περιεχόμενον

Χειρόγραφον ἄναρχόν τε καὶ ἀτελές, οὗτινος τὸ σωζόμενον ἄρχεται μὲν τῶν λέξεων «νεύκεν θάμαρ ἡ νύμφη σου καὶ ἰδοὺ ἐν γαστρὶ ἔχει...», λήγει δὲ εἰς τὰς λέξεις «καὶ ἴδε πόσην ἀποτομίαν ἔθηκεν».

Περιέχονται ἐν αὐτῷ :

1) Λόγος ἀνεπίγραφος καὶ ἄναρχος, οὗτινος τὸ σωζόμενον ἄρχεται ἀπὸ τῶν λέξεων, ἀφ' ὧν καὶ τὸ χειρόγραφον. Τὸ τέλος τούτου ἔχει ὡς ἀκολούθως «οὐκ ἐκπειράσῃ κύριον τὸν Θεόν σου, αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν».

2) Εἰς τὸ «Παραλαμβάνει αὐτὸν ὁ διάβολος εἰς ὄρος ὑψηλόν».

3) Τοῦ αὐτοῦ εἰς τὸ ἆσμα τῶν ἀσμάτων. 96) «Ἡ τρυγὼν ἡ φιλέρημος ἐν ὕλεσι κοιταζομένη καλεῖ τὸν ὁμόζυγον γοεραῖς κολακείαις».

4) Εἰς τοὺς Μακκαβαίους καὶ εἰς τὴν μητέρα αὐτῶν «Ὡς φαιδρὰ καὶ περιχαρὴς ἡμῖν ἡ πόλις».

---

96) Ἐν τοῖς συγγράμμασι τοῦ Ἰ. Χρυσοστόμου ἐπιγράφεται «Λόγος εἰς τὴν τρυγόνα, ἤτοι εἰς τὴν ἀκολασίαν», καὶ κατατάσσεται ἐν τοῖς νόθοις.

5) Περὶ τῆς σωφροσύνης τῆς μακαρίας Σωσάνης καὶ τῆς τῶν παρανόμων πρεσβυτέρων διαβολῆς· 97)

«Ἥκομεν ἡμεῖς εὐγνώμονες ὀφειλέται τοῦ λόγου».

6) Εἰς τὴν θυσίαν τοῦ Ἀβραάμ.

«Εἴδετε πολιὰν σφριγῶσαν».

7) Περὶ τοῦ μὴ δεῖν πλησιάζειν θεάτρου καὶ περὶ τοῦ δικαίου καὶ φιλοθέου Ἀβραάμ.

«Πολλοὶ οἶμαι τῶν πρώην καταλιπόντων ἡμᾶς».

8) Πρὸς ἀνομίους καὶ περὶ ἀκαταλήπτου ἀπόντος τοῦ ἐπισκόπου.

«Τί τοῦτο ὁ ποιμὴν οὐ πάρεστι».

9) Πρὸ πολλῶν ἡμερῶν πρὸς ἀνομίους, εἶτα πρὸς Ἰουδαίους.

10) Περὶ ἀκαταλήπτου, λόγος γ'.

«Οἱ φιλόπονοι τῶν γεωργῶν ἐπειδὰν ἴδωσι δένδρον».

11) Περὶ ἀκαταλήπτου, λόγος δ'.

«Ἤρκει μὲν οὖν πρώην δείξαντα».

12) Περὶ ἀκαταλήπτου, λόγος ε'.

«Ἐπειδὰν μέλλῃ τις μακροτέρας ὑποθέσεως ἅπτεσθαι».

13) Περὶ ἀκαταλήπτου καὶ πρὸς ἀνομίους.

«Μίαν ὑμῖν διειλέχθην ἡμέραν».

14) Πρὸς τοὺς ἀπολειφθέντας συνάξεως.

«Πάλιν ἱπποδρομίαι καὶ πάλιν σύλλογοις».

15) Κατὰ αἱρετικῶν.

«Ἐκ πολέμου χθὲς ἐπανήλθομεν».

16) Πρὸς τοὺς σκανδαλισθέντας ἐπὶ δυσημερίαις.

«Ἰατρῶν μὲν παῖδες ὅταν πυρέττοντες».

---

97) Θεωρεῖται νόθος.

17) Ἔπαινος τῶν ἀπαντησάντων τῇ Ἐκκλησίᾳ.

«Πολλὴν ὁρῶ τὴν σπουδὴν ἐνδεικνύμενος». Ἐν τέλει τοῦ λόγου τούτου προστίθεται διὰ τῆς αὐτῆς χειρός : «Τέλος τῶν περὶ ἀκαταλήπτου λόγων».

18) Εἰς τὴν πρώτην τῶν ἀπολειπομένων τὴν λέγουσαν : Ὑψώθη ἡ καρδία Ὀζίου κ.τ.λ.»

«Εὐλογητὸς ὁ Θεὸς καὶ ἐπὶ τῆς γενεᾶς τῆς ἡμετέρας ἐβλάστησαν μάρτυρες».

19) Εἰς τὸ ῥητὸν τοῦ προφήτου Ἡσαΐου : Εἶδον τὸν Κύριον κ.τ.λ.

«Φέρε σήμερον τοῦ κατὰ Ὀζίαν».

20) Ὁμιλία εἰς τὰ Σεραφείμ.

«Μόλις ποτὲ τὸ κατὰ Ὀζίαν».

21) Εἰς τὴν ἐξορίαν τοῦ πρωτοπλάστου Ἀδὰμ καὶ περὶ πονηρῶν καὶ ἀκολάστων γυναικῶν.

«Πρόκειται ἡμῖν, ἀγαπητοί, πνευματικὴ τράπεζα».

22) Λόγος τοῦ μεθ' ὑπομονῆς καὶ εὐχαριστίας φέρειν τῶν τέκνων καὶ τῶν ἰδίων τὴν κοίμησιν, καὶ μὴ ἀμέτρως ἐπὶ τοῖς τοιούτοις πενθεῖν, ἐν ᾧ περὶ μετανοίας.

«Φέρε σήμερον μάλιστα τῶν πρώην ἡμερῶν». 98)

23) Ὁμιλία εἰς τὴν ἀρχὴν τῶν νηστειῶν καὶ περὶ νηστείας. 99)

«Τὸ πνευματικὸν ἡμῖν σήμερον, ἀγαπητοί».

24) Λόγος εἰς τὴν μέσην τῶν νηστειῶν καὶ εἰς τὸν τίμιον σταυρόν. 100)

---

98) Θεωρεῖται νόθος.
99) » »
100) » »

«Τοῦτό ἐστιν ἀδελφοὶ τὸ σημεῖον, ὅπερ ὁ δεσπότης».

25) Ἐκ τῆς πρὸς Κυριακὸν ἐπιστολῆς, ἀπόσπασμα ἀρχόμενον τῶν λέξεων :

«Παρακάλει τὸν δεσπότην ἡμῶν Ἰησοῦν Χριστὸν» καὶ λῆγον εἰς τὰς λέξεις εἰς ἃς καὶ τὸ χειρόγραφον.

Μεταξὺ τοῦ 7 καὶ 8 παρενετέθη ὑπὸ τοῦ γραφέως «Διήγησις «μερικὴ περὶ τοῦ γενομένου θαύματος ἐν Χώναις παρὰ τοῦ ἐνδόξου ἀρχαγγέλου μιχαήλ, ἀρχομένη : «Καὶ περὶ τῶν ἄλλων ἁγίων διεξιέναι».

Προηγεῖται τοῦ χειρογράφου διὰ νεωτέρας χειρὸς γεγραμμένος λόγος «Ἀναστασίου μοναχοῦ τοῦ ἁγίου ὄρους Σινᾶ, εἰς τὴν παρείσβασιν τῶν νηστειῶν, ἀρχόμενος «Πρέπουσαν «τῆς τῶν νηστειῶν ἀρχῆς εἰλικρινῆ ὑπόθεσιν». Ἐν τέλει δὲ τούτου (φ. 13 6) διὰ τῆς ἰδίας χειρὸς προστίθεται τὸ ὄνομα τοῦ γραφέως τοῦ ὡς ἄνω λόγου ἐν μονογραφίᾳ δυσαναγνώστῳ καὶ τὸ ἔτος ξθ΄. Ἰνδ. δ΄. Ἀκολούθως διὰ τῆς αὐτῆς χειρός :

«† Ἐπῆρε τὴν μοθόνην ἐν ἔτει ξη΄ αὐθέντης Παζαΐτ Ὀσμὰν γένος.»

(123) ΑΡΙΘΜ. 131.

Ὀνομασία

Θεοδωρήτου Ἐπισκόπου Κύρου (101) ἑρμηνεία εἰς τοὺς ψαλμοὺς τὰ Δαβίδ.

Ἐποχή

XIII αἰῶνος.

---

101) Τὰ ἔργα τοῦ Θεοδωρήτου ἐξεδόθησαν τὸ πρῶτον ἐν Παρισίοις τῷ 1642 ὑπὸ τοῦ Sirmond, μετὰ λατινικῆς μεταφράσεως εἰς 4 τόμους, εἰς οὓς κατόπιν τῷ 1684 προσέθηκε πέμπτον τόμον ὁ Garnier. Ἀκολούθως ὁ Εὐγένιος ὁ Βούλγαρης ἀνετύπωσε μόνον τὸ ἑλληνικὸν κείμενον ἐν Χάλλῃ (1768—1775) εἰς πέντε τόμους μετ' ἐκτενοῦς βιογραφίας τοῦ Θεοδωρήτου, τελευταία δ' ἔκδοσις παρὰ Migne (τόμ. 80—84). Ἀ. Παπαδόπουλος Κεραμεύς : «Θεοδωρήτου ἐπισκόπου Κύρου πρὸς τὰς ἐπενεχθείσας αὐτῷ ἐπερωτήσεις παρά τινος τῶν ἐξ Αἰγύπτου ἐπισκόπων ἀποκρίσεις. (Πετρούπολις 1895. E. Schwartz, Zur Schriftstellerei Theodorets (München 1922) καὶ ἄλλα.

Χαρακτηρισμοί

Μεμβρ. 0,28.5Χ0,20. φ. 218. Στίχοι σελ. 34. Σελίδες μονόστηλοι. Στάχωσις νεωτέρας ἐποχῆς.

Περιεχόμενον

Χειρόγραφον ἄναρχον καὶ ἀτελές, οὗτινος τὸ σωζόμενον ἄρχεται μὲν ἀπὸ τῶν ἐκ τῆς εἰς τὸ τρίτον ἐδάφιον τοῦ τριακοστοῦ ἐνάτου ψαλμοῦ ἑρμηνείας λέξεων : «ἰλύος. οὕτω δὲ τοὺς μεγίστους κινδύνους ὀνομάζειν τῇ θείᾳ γραφῇ», λήγει δὲ εἰς τὰς λέξεις «ἑρμηνεία τοῦ ρμε΄ ψαλμοῦ, ἀλληλούϊα». Παραβληθὲν τῷ ἐντύπῳ εὑρέθη ἔχον πλείστας διαφοράς.

(124) ΑΡΙΘΜ. 132.

Ὀνομασία

Ἡσυχίου πρεσβυτέρου Ἱεροσολύμων, Στιχηρόν τῶν δώδεκα προφητῶν καὶ Ἡσαΐου, Δανιήλ, Ἱερεμίου καὶ Ἰεζηκιήλ

Ἐποχή

XIII αἰῶνος.

Χαρακτηρισμοί

Μεμβρ. 0,32Χ0,23. φ. 192. Στίχοι σελίδων 37. Σελίδες δίστηλοι. Στάχωσις ἐκ δέρματος ἐπὶ ξυλίνων πλακῶν.

Περιεχόμενον

Ἡσυχίου πρεσβυτέρου Ἱεροσολύμων, στιχηρὸν τῶν δώδεκα προφητῶν καὶ Ἡσαΐου, Δανιήλ, Ἱερεμίου καὶ Ἰεζεκιήλ.

Διῄρηται εἰς 24 ὀκτάφυλλα τετράδια.

Τὸ χειρόγραφον τοῦτο παραβληθὲν τῇ κατὰ τοὺ Ἑβδομήκοντα Παλαιᾷ Διαθήκῃ τῇ ἐν Λειψίᾳ κατὰ τὸ 1855 ἐκδεδομένῃ, εὑρέθη διαφέρον κατά τε τὴν λέξιν, τὴν διανομὴν τῶν ἐδαφίων καὶ αὐτῶν τῶν κεφαλαίων. Οὕτω π.χ. ἐν ᾧ εἰς τὸν Ὠσηὲ κατὰ τὸ ἔντυπον ἀριθμοῦνται 14 κεφάλαια, κατὰ τὸ χειρόγραφον ἀριθμοῦνται 20 καὶ τὸ ἕβδομον π.χ. κεφάλαιον ἄρ-

χεται ἀπὸ τοῦ ὀγδόου ἐδαφίου τοῦ πέμπτου κεφαλαίου καὶ λήγει εἰς τὸ τρίτον κεφάλαιον τοῦ ἕκτου κεφαλαίου.

Ἐν τῷ φ. 192 ὑπάρχουν δυσανάγνωστα δύο σημειώματα :
«μηνὶ μαρτίῳ ἡμέρᾳ Κυριακῇ.

† «μηνὶ μαρτίῳ ι´ ἡμέρᾳ Κυριακῇ ἀνέγνωσα καγὼ ταύτην τὴν βίβλον ἔτος στψμθ (1241).

† Εὐθυμίου Ἀθηνῶν τοῦ ἐν μεσημβρίᾳ τὴν οἴκησιν ἔχοντος κύριε βοήθει λοιπὸν πᾶσιν ἡμῖν. Γένοιτο, γένοιτο, λοιπόν. 102)

(125) ΑΡΙΘΜ. 133.

Ὀνομασία

Ἐφραίμ τοῦ Σύρου ἀσκητικά.

Ἐποχή

XII καὶ XIII αἰῶνος.

Χαρακτηρισμοί

Μεμβράϊνον ἁπλοῦν καὶ μεβράϊνον παλίμψηστον. 0,29X0,23. Φύλλα ἁπλ. μεμβρ. 165. Φύλλα. παλίμψ. 116. Στίχοι σελ. μεμβρ. 20, παλίμψ. 25. Στάχωσις νεωτάτη. Διήρηται εἰς τετράδια 37 ἠριθμημένα.

ζ—μγ´ ὧν τινα ἐλλιπῆ. Τούτων δὲ τὰ μὲν ὑπὸ ἀρχαιοτέρας χειρός, τὰ δὲ ὑπὸ νεωτέρας πρὸς συμπλήρωσιν ἐγράφησαν. Τὰ ὑπὸ νεωτέρας χειρὸς εἶναι δεκαπέντε ἅπαντα παλίμψηστα, ἀνήκοντα εἰς ἓν καὶ τὸ αὐτὸ χειρόγραφον, οὗτινος τὰ ἀρχαῖα γράμματα, κατὰ τὸ πλεῖστον ἐξηλειμμένα καὶ λίαν δυσανάγνωστα. Φαίνεται δὲ ἱστορία βυζαντινή, καθόσον συχνότατα ὑπάρχουσιν αἱ λέξεις : «σπαθάριος, πρωτονοτάριος, πατρίκιος, στρατηγός». κλπ.

(Συνεχίζεται)

102) Τὸ πρῶτον σημείωμα εἶναι γεγραμμένον δι᾽ ἄλλης χειρὸς καὶ οὐχὶ τῆς τοῦ Εὐθυμίου Ἀθηνῶν, ὅστις δὲν ἦτο δυνατὸν νὰ εἶναι Μητροπολίτης ταύτης τῆς πόλεως λατινοκρατουμένης, καθ᾽ ὃν χρόνον ἡ ἑλληνικὴ Μητρόπολις ἦτο κατηργημένη, πλὴν ἢ ἂν ἦτο ἁπλῶς τιτουλάριος. Πρβλ. σχετικῶς Ν. Ἑλληνομν. Ε. Λάμπρου. ΙΒ´. σελ. 114.

ΤΟ ΑΓΙΟΝ ΟΡΟΣ

ΕΠΙ ΣΥΝΟΔΟΥ ἀνεγνώσθη τὴν 24ην Ἀπριλίου ἔκθεσις τῆς ἐπὶ τοῦ Ἁγίου Ὄρους Ἐπιτροπῆς, διὰ τῆς ὁποίας ἐπὶ τῇ εὐκαιρίᾳ τῆς μεταβάσεως Πατριαρχικῆς Ἐξαρχίας πρὸς συμμετοχὴν εἰς τὰς ἐργασίας τῆς μετὰ τὰς Ἑορτὰς τοῦ Ἁγίου Πάσχα συνερχομένης Δισενιαυσίου Συνάξεως, καὶ πρὸς τέλεσιν τῆς εἰς Ἐπίσκοπον χειροτονίας τοῦ Σχολάρχου τῆς Ἀθωνιάδος Σχολῆς Ἀρχιμανδρίτου κ. Ναθαναὴλ Λαυριώτου ὑπέβαλε διαφόρους σκέψεις ἐπὶ τῶν ἀπασχολούντων τὸ Ἅγιον Ὄρος καὶ τὴν Ἐκκλησίαν ζητημάτων. Κατὰ τὴν διεξαχθεῖσαν συζήτησιν πολλὰ ἐλέχθησαν εἰς τιμὴν τοῦ Ἁγίου Τόπου καὶ τῆς συντελουμένης ἐν αὐτῷ ἐργασίας. Ἡ Συνοδικὴ Ἐπιτροπὴ εἰς τὴν ὑπ' αὐτῆς καταρτισθεῖσαν μελέτην εἶχεν ὑπ' ὄψιν τὸ ἀπὸ ἐτῶν χαραχθὲν πρόγραμμα ἀναδιοργανώσεως τοῦ Ἁγίου Ὄρους. Μὲ εὐστοχίαν δὲ ἀνεκεφαλαίωσε τὰ πλέον ἐπίκαιρα ζητήματα, τὴν προώθησιν τῶν ὁποίων θέλει ἐπιδιώξῃ ἡ ἐκεῖ μεταβησομένη Ἐξαρχία ἐν συνεργασίᾳ μετὰ τῆς Δισενιαυσίου Ἱερᾶς Συνάξεως. Ἡ τακτικὴ ἐντεῦθεν ἀποστολὴ εἰς Ἅγιον Ὄρος Πατριαρχικῶν Ἐξαρχιῶν, καὶ ἡ ποθουμένη ἐγκατάστασις ἐνταῦθα μονίμου ἀντιπροσώπου τῆς Ἱερᾶς Κοινότητος θέλει μεγάλως συντελέσῃ εἰς τὴν προαγωγὴν καὶ ἀνάπτυξιν τῆς ἀκρωρείας ταύτης τῆς Μοναστικῆς Πολιτείας.

Τὸ Ἅγιον Ὄρος ἀπετέλεσε πάντοτε ἀντικείμενον ὀφειλετικῆς μερίμνης καὶ ἰδιαιτέρας στοργῆς ἀπὸ μέρους τοῦ Οἰκουμενικοῦ Πατριαρχείου. Σήμερον ὅμως ἡ στοργή, τὸ ἐνδιαφέρον καὶ ἡ μέριμνα αὕτη τῆς Μητρὸς Ἐκκλησίας πρέπει νὰ ἐκδηλωθῇ κατὰ τρόπον σύντονον, θετικὸν καὶ συστηματικόν, καὶ διότι ὑπαγορεύει αὐτὸ ἡ ἡγετικὴ εὐθύνη τοῦ Πατριαρχείου πρὸς αὐτὸ τοῦτο τὸ Ἅγιον Ὄρος, ὅπερ ἀποτελεῖ ἀνεκτίμητον παρακαταθήκην ἐν τῇ Πρωτοθρόνῳ αὐτοῦ δικαιοδοσίᾳ, ἀλλὰ καὶ λόγῳ τῶν ἰδιαιτέρων συνθηκῶν ὑφ' ἃς διατελοῦσί τινες τῶν ἀδελφῶν Ὀρθοδόξων Ἐκκλησιῶν, ὅπως συνώψισεν ἡ Ἐπιτροπὴ εἰς τὴν ἐμπεριστατωμένην ἔκθεσίν της τὰ σπουδαιότερα ἐκ τῶν ἀπασχολούντων τὴν Μεγάλην Ἐκκλησίαν ζητημάτων τοῦ Ἁγίου Ὄρους εἰς τὰ καίρια αὐτῶν σημεῖα. Δὲν ἀποτελεῖ κοινὸν τόπον τὸ γεγονὸς ὅτι τὸ Πατριαρχεῖον κατὰ τὰ τελευταῖα ἔτη ἐπανέρχεται, διὰ τῶν ἑκάστοτε ἀποστελλομένων Ἐξαρχιῶν αὐτοῦ, ἐπὶ τῶν αὐτῶν σχεδὸν προβλημάτων τοῦ Ἁγίου Ὄρους, σημαίνει μᾶλλον ὅτι ἡ Ἐκκλησία ἐσχημάτισε πλέον ἀποκρυσταλλωμένας ἀπόψεις, ὅτι ἀπέκτησε σαφῆ συνείδησιν τῶν προβλημάτων τούτων. Οὔ-

τε καὶ πρέπει νὰ ἐμπνεύσῃ ἀπαισιοδοξίαν ἢ καὶ σκεπτικισμὸν τὸ γεγονὸς ὅτι δὲν εὗρον ἀκόμη ὅλα τὰ προβλήματα ταῦτα τὴν εὐκταίαν λύσιν αὐτῶν. Ἀπαιτεῖται ἐπίμονος προσπάθεια καὶ πίστωσις χρόνου, χρόνου μάλιστα μακροῦ πρὸς δημιουργίαν τοῦ καταλλήλου εὐνοϊκοῦ κλίματος πρὸς διαφώτισιν εὐρυτέραν καὶ οἰκείωσιν τῶν σκέψεων καὶ κατευθύνσεων. Τὴν τακτικὴν ταύτην ἀκριβῶς ἐφαρμόζει τὸ Πατριαρχεῖον, καὶ δέον νὰ ὁμολογηθῇ ὅτι δὲν ἔμειναν ἄκαρποι αἱ προσπάθειαι αὐτοῦ. Ὡς παράδειγμα πρόκειται ἡ ἐπανασύστασις τῆς Ἀθωνιάδος Σχολῆς, ἥτις ἀποτελεῖ ἐξαιρετικὴν ἐπιτυχίαν. Εἶναι συγκινητικὸς ὁ ἐνθουσιασμὸς μὲ τὸν ὁποῖον τώρα τὴν περιβάλλουν οἱ Ἁγιορεῖται. Ἡ Ἐκκλησία εἰς τὴν μεγάλην αὐτῆς προσπάθειαν διὰ τὴν ἐξύψωσιν τοῦ Ἁγίου Ὄρους δὲν περιορίζεται τυπικῶς εἰς τὰς σχετικὰς διατάξεις τοῦ Καταστατικοῦ. Αἱ προσπάθειαι τοῦ Πατριαρχείου κατατείνουν πρὸ παντὸς εἰς τὸν μοναδικὸν σκοπὸν νὰ κατακτηθῇ ἡ ἐμπιστοσύνη τῶν Ἁγιορειτῶν, νὰ δημιουργηθῇ τὸ κατάλληλον παρ' αὐτοῖς ψυχολογικὸν κλῖμα διὰ τὴν μετ' αὐτοῦ συνεργασίαν αὐτῶν.

Οἱ ἐπισκεπτόμενοι τὸ Ἅγιον Ὄρος ἔχουν διαπιστώσῃ ὅτι ὑπάρχει σημαντικὴ ἐν τῷ ἱερῷ Τόπῳ ἐξέλιξις, τοῦθ' ὅπερ μαρτυρεῖ ὅτι πολλοὶ ἐκ τῶν μοναχῶν κατανοοῦν τὰ πράγματα καὶ ἐπιδεικνύουν καλὴν θέλησιν πρὸς ἐφαρμογὴν τῶν ἑκάστοτε παρὰ τῆς Ἐκκλησίας λαμβανομένων ὑπὲρ τῆς προαγωγῆς τοῦ Ἁγίου Ὄρους λυσιτελῶν ἀποφάσεων. Ἡ μελετωμένη ἰδίᾳ σύστασις Τυπογραφείου, μεγάλως θέλει συντελέσῃ εἰς τὴν καθόλου ἐπιδιωκομένην ἐν τῇ ἀκροπόλει ταύτῃ τοῦ Μοναχισμοῦ πρόοδον καὶ ἀνάπτυξιν. Παρὰ τοῖς μοναχοῖς ἀναπτύσσεται ὁλονὲν μεγαλυτέρα κατανόησις καὶ ἐμπιστοσύνη καὶ διάθεσις ἀνεπιφύλακτος ἔναντι τῶν προσπαθειῶν καὶ ἐπιδιώξεων τῆς Μητρὸς Ἐκκλησίας. Τοῦτο ὀφείλεται τὸ μὲν εἰς τὰς συχνὰς ἐπισκέψεις τῶν Ἀρχιερέων εἰς τὸ Ἅγιον Ὄρος, τὸ δὲ εἰς τὸ γεγονὸς ὅτι μοναχοὶ ἐπισκεπτόμενοι τὸ Οἰκουμενικὸν Πατριαρχεῖον, ἐπιστρέφουσι μὲ πληρεστέραν κατανόησιν τῶν εὐεργετημάτων τῆς συχνῆς ταύτης ἐπικοινωνίας. Ἔχει ἐγκαινιασθῇ περίοδος τακτικῶν ἐπισκέψεων εἰς Ἅγιον Ὄρος καὶ συνεργασίας μετὰ Συνάξεων καὶ τῆς Ἱερᾶς Κοινότητος.

Ο ΑΘΗΝΩΝ ΣΠΥΡΙΔΩΝ

ΤΗΝ 21ην ΜΑΡΤΙΟΥ, ὥραν 5.5΄ πρωϊνὴν ἐξεδήμησεν εἰς Κύριον ὁ Μακαριώτατος Ἀρχιεπίσκοπος Ἀθηνῶν καὶ πάσης Ἑλλάδος κύριος Σπυρίδων, ἐν τῷ Νοσοκομείῳ «Εὐαγγελισμὸς» ὅπου ἀπὸ τριημέρου ἐνοσηλεύετο, εἰς ἡλικίαν ὀγδοήκοντα τριῶν ἐτῶν. Καθῆκον ἔχομεν νὰ ἐξετάσωμεν ἐν τῇ ἀνασκοπήσει τοῦ βίου τοῦ ἐκλιπόντος ἀνδρὸς ἃς προσέφερεν εἰς τὴν Ἐκκλησίαν ὑπηρεσίας.

Ὁ ἀοίδιμος Ἀρχιεπίσκοπος ἐγεννήθη τῷ 1873 ἐν τῇ κωμοπόλει τοῦ Εὐξείνου Πόντου, Χιλῇ, ἐκ γονέων ἐξ Ἠπείρου καταγομένων. Τυχὼν τῆς πρώτης παιδεύσεως ἐν τῇ γενετείρᾳ αὐτοῦ, ἐφοίτησεν ἀκολούθως εἰς τὴν Πατριαρχικὴν Μεγάλην τοῦ Γένους Σχολήν, τὸ δὲ 1895 εἰσήχθη εἰς τὴν Θεολογικὴν Σχολὴν Χάλκης, ἀπὸ τὴν ὁποίαν ἀπεφοίτησε μὲ λαμπρὰς σπουδάς. Ἀκολούθως ὑπηρέτησεν ὡς ἱεροκήρυξ καὶ διδάσκαλος ἐν Γαλατᾷ. Χειροτονηθεὶς τὸ 1900 πρεσβύτερος καὶ προχειρισθεὶς εἰς Ἀρχιμανδρίτην, ἐτοποθετήθη ὡς Ἱεροκήρυξ καὶ Ἀρχιερατικὸς Ἐπίτροπος εἰς Καβάλλαν τῆς Ἱερᾶς Μητροπόλεως Ξάνθης, ὅπου εἰργάσθη μὲ ἀσυνήθη ζῆλον. Δι᾽ ὃ καὶ ἀνυψώθη τὸ 1906 ὑπὸ τοῦ ἀοιδίμου Πατριάρχου Ἰωακεὶμ τοῦ Γ΄ εἰς Μητροπολίτην Βελλᾶς καὶ Κονίτσης, ἀναπτύξας δρᾶσιν κοινωφελῆ καὶ ἱδρύσας, μεταξὺ ἄλλων Σχολείων, Ἱεροδιδασκαλεῖον. Ἐν ἔτει 1916 ὁ μακαριστὸς Πατριάρχης Γερμανὸς ὁ Ε΄ προήγαγεν αὐτὸν εἰς Μητροπολίτην Ἰωαννίνων. Εἰς τὴν Μητρόπολιν ταύτην ἀνέπτυξεν ἐξαιρετικὸν ζῆλον, στρέψας κυρίως τὴν προσοχὴν αὐτοῦ πρὸς τὴν κατεύθυνσιν τῆς ἐκπαιδεύσεως καὶ τῆς κοινωνικῆς προνοίας, ἃς καὶ προήγαγεν ἔχων εἰς τὴν διάθεσίν του καὶ τὰ ὑπάρχοντα ἐκεῖ μεγάλα κληροδοτήματα. Ἐκλεγεὶς ἐν ἔτει 1949 Ἀρχιεπίσκοπος Ἀθηνῶν καὶ πάσης Ἑλλάδος, εἰργάσθη ἐπὶ τῷ σκοπῷ ὅπως προσδώσῃ νέαν πνοὴν εἰς τὴν καθόλου ζωὴν τῆς Ἐκκλησίας. Ἐν τῇ ὑπάτῃ ταύτῃ διακονίᾳ τῆς Ἐκκλησίας τῆς Ἑλλάδος, ὁμολογουμένως εἰργάσθη σθεναρῶς, παρὰ τὸ προβεβηκὸς τῆς ἡλικίας αὐτοῦ, πρὸς περιφρούρησιν τῆς ἐκκλησιαστικῆς περιουσίας, βελτίωσιν τῆς θέσεως τοῦ Ἱεροῦ Κλήρου, ἵδρυσιν Κατηχητικῶν Σχολῶν, καὶ προαγωγὴν τοῦ ἔργου τῆς Ἀποστολικῆς Διακονίας. Τελευταίως ἡ ὑγεία του ἐκλονίσθη σοβαρῶς, ὑποστὰς δὲ φλεγμονὴν εἰς τὸν δεξιὸν πόδα, εἰσήχθη εἰς τὸ Νοσοκομεῖον «Εὐαγγελισμός», ἔνθα καὶ ἀπέθανε. Διὰ τοῦ θανάτου αὐτοῦ ἐκλείπει μία ἐπιβάλλουσα Πρωθιεραρχικὴ φυσιογνωμία.

Τὸ Οἰκουμενικὸν Πατριαρχεῖον μετὰ λύπης βαθείας ἔλαβε γνῶσιν

τοῦ θλιβεροῦ γεγονότος ἐκ τηλεγραφήματος τοῦ πρώτου τῇ τάξει Συνοδικοῦ Συνέδρου Σεβασμιωτάτου Μητροπολίτου Βερροίας καὶ Ναούσης κ. Ἀλεξάνδρου. Τὴν ἡμέραν καὶ τὴν ὥραν τῆς κηδείας αὐτοῦ, γενομένης τὴν 24ην Μαρτίου, Σάββατον, ὥραν 10.30΄, ἡ Αὐτοῦ Θειοτάτη Παναγιότης ἐτέλεσε τρισάγιον ἐν τῷ Πατριαρχικῷ Παρεκκλησίῳ, καὶ ἀπέστειλεν εἰς τὴν Ἐκκλησίαν τῆς Ἑλλάδος καὶ εἰς τοὺς οἰκείους αὐτοῦ τὰ προσήκοντα συλλυπητήρια τηλεγραφήματα, καὶ ἀνέθεσεν εἰς τὸν Σεβασμιώτατον Μητροπολίτην Φθιώτιδος κ. Ἀμβρόσιον, ὅπως κατὰ τὴν κηδείαν ἐκπροσωπήσῃ τὴν Μητέρα Ἐκκλησίαν. Εἰς δὲ τὴν Συνοδικὴν Συνεδρίαν τῆς 27ης Μαρτίου ἀνεκοίνωσεν ἐπισήμως τὴν πρὸς Κύριον ἐκδημίαν τοῦ ἀοιδίμου Ἀρχιεπισκόπου Ἀθηνῶν καὶ πάσης Ἑλλάδος κ. Σπυρίδωνος, ἀνέλυσε τὸν βίον καὶ τὸ ἔργον αὐτοῦ καὶ ἔπλεξε τὸ ἐγκώμιόν του. Ἡ Ἁγία καὶ Ἱερὰ Σύνοδος μετὰ πολλῆς λύπης ἤκουσε τὸ θλιβερὸν ἄγγελμα, καὶ ἐγερθεῖσα μετὰ τῆς Αὐτοῦ Θειοτάτης Παναγιότητος, ηὐχήθη ὑπὲρ ἀναπαύσεως τῆς ψυχῆς αὐτοῦ.

Τῷ ἐγένετο λαμπρὰ κηδεία ἐν Ἀθήναις, δημοσίᾳ δαπάνῃ, καὶ ἀπεδόθησαν τιμαὶ Πρωθυπουργοῦ ἐν ἐνεργείᾳ. Προεξῆρχεν ὁ Τοποτηρητὴς Σεβασμιώτατος Μητροπολίτης Βερροίας καὶ Ναούσης κ. Ἀλέξανδρος, καὶ ὡραῖον ἐπικήδειον ἐξεφώνησεν ὁ Σεβασμιώτατος Μητροπολίτης Φιλίππων καὶ Νεαπόλεως κ. Χρυσόστομος.

Τοῦ ἀειμνήστου Ἀρχιεπισκόπου Ἀθηνῶν καὶ πάσης Ἑλλάδος κυροῦ Σπυρίδωνος ἡ μνήμη εἴη αἰωνία !

ΤΑ ΑΝΤΑΛΛΑΓΕΝΤΑ ΤΗΛΕΓΡΑΦΗΜΑΤΑ :

Ἀθῆναι, 21ῃ Μαρτίου 1956.

Τῷ Παναγιωτάτῳ Οἰκουμενικῷ Πατριάρχῃ κ. Ἀθηναγόρᾳ.

Φανάριον, Πατριαρχεῖα.

Μετὰ λύπης ἀγγέλλομεν Ὑμῖν, ὅτι Προκαθήμενος Ἁγιωτάτης Ἐκκλησίας Ἑλλάδος Ἀρχιεπίσκοπος Ἀθηνῶν κυρὸς Σπυρίδων μετέστη πρὸς Κύριον, πρωΐαν 21ης Μαρτίου. Ἐκκλησία, στερηθεῖσα διαπρεποῦς Πρωθιεράρχου, δέεται ὑπὲρ ἀναπαύσεως ψυχῆς αὐτοῦ. Κηδεία τελεσθήσεται Σάββατον, 24ην τρέχοντος.

Τοποτηρητὴς
† Μητροπολίτης Βερροίας καὶ Ναούσης
ΑΛΕΞΑΝΔΡΟΣ

Σεβασμιώτατον Μητροπολίτην Βερροίας καὶ Ναούσης
κ. Ἀλέξανδρον, Τοποτηρητήν.

Ἀθήνας

Κατώδυνοι ἐπληροφορήθημεν μετάστασιν πρὸς Κύριον προσφιλοῦς ἡμῖν γεραροῦ Πρωθιεράρχου ἀδελφῆς Ἁγιωτάτης Ἐκκλησίας Ἑλλάδος κυροῦ Σπυρίδωνος. Δεηθέντες συνοδικῶς ὑπὲρ ἀναπαύσεως μακαρίας αὐτοῦ ψυχῆς, ἐκφράζομεν βαθύτατα συλλυπητήρια Οἰκουμενικοῦ Θρόνου καὶ ἡμῶν, εὐχόμενοι Κύριος ταχέως παραμυθήσῃ ἀδελφὴν Ἐκκλησίαν. Μητέρα Ἐκκλησίαν καὶ ἡμᾶς ἀντιπροσωπεύσῃ κηδείαν Μητροπολίτης Φθιώτιδος κ. Ἀμβρόσιος.

22-3-1956.

† Πατριάρχης ΑΘΗΝΑΓΟΡΑΣ

Ο ΝΕΟΣ ΑΡΧΙΕΠΙΣΚΟΠΟΣ ΑΘΗΝΩΝ ΚΑΙ ΠΑΣΗΣ ΕΛΛΑΔΟΣ

ΣΥΜΦΩΝΩΣ πρὸς τὴν ὑπὸ τῆς Ἱερᾶς Συνόδου Ἀθηνῶν ληφθεῖσαν ἀπόφασιν, τὴν 29ην Μαρτίου συνῆλθεν ἡ Ἱεραρχία τῆς Ἐκκλησίας τῆς Ἑλλάδος εἰς τὸν Μητροπολιτικὸν Ναόν, ὑπὸ τὴν προεδρείαν τοῦ Σεβασμιωτάτου Τοποτηρητοῦ Μητροπολίτου Βερροίας κ. Ἀλεξάνδρου, παρόντος καὶ τοῦ Ἐξοχωτάτου Ὑπουργοῦ τῆς Παιδείας κ. Π. Λεβαντῆ, καὶ ἐξέλεξεν Ἀρχιεπίσκοπον Ἀθηνῶν καὶ πάσης Ἑλλάδος τὸν Σεβασμιώτατον Μητροπολίτην Λαρίσης καὶ Πλαταμῶνος κύριον Δωρόθεον. Ἐκ τῶν ἑξήκοντα καὶ δύο ἐκλεκτόρων Ἀρχιερέων, παρέστησαν οἱ πεντήκοντα ἕξ, ἀπουσιασάντων ἓξ λόγῳ ἀδιαθεσίας. Ἡ σχετικὴ πλειοψηφία εἶχεν ὁρισθῇ εἰς εἴκοσι ἐννέα ψήφους. Ἡ Συνέλευσις ἤρχισε τὴν 9ην πρωϊνὴν ὥραν καὶ ἔληξε τὴν 13.30΄. Ὑποψηφιότητα ἔθεσαν οἱ Σεβασμιώτατοι Μητροπολῖται Λαρίσης καὶ Πλαταμῶνος Δωρόθεος, Σάμου Εἰρηναῖος, Μαντινείας Γερμανός, Ἀττικῆς καὶ Μεγαρίδος Ἰάκωβος, Χίου Παντελεήμων, Θεσσαλονίκης Παντελεήμων καὶ Μεσσηνίας Χρυσόστομος. Αἱ θύραι τοῦ Ναοῦ ἐκλείσθησαν καὶ αἱ κλεῖδες ἐδόθησαν εἰς τὸν Ἀρχιγραμματέα τῆς Ἱερᾶς Συνόδου. Ἔγινεν ἡ νενομισμένη ἱεροτελεστία, προεξάρχοντος τοῦ Τοποτηρητοῦ Μητροπολίτου Βερροίας καὶ Ναούσης κ. Ἀλεξάνδρου. Οἱ ἔχοντες τὰ πρεσβεῖα χειροτονίας Μητροπολῖται Φιλίππων, Νεαπόλεως καὶ Θάσου κ. Χρυσόστομος, καὶ Φθιώτιδος κ. Ἀμβρόσιος, ὡρίσθησαν μέλη Ἐφορευτικῆς Ἐπιτροπῆς μετὰ τοῦ Τοποτηρητοῦ. Ὁ νεώτερος ὅλων Μητροπολίτης Ἐλασσῶνος κ. Ἰάκωβος ὡρίσθη Γραμματεὺς τῆς ἐκλογικῆς Συνελεύσεως. Γενομένης μυστικῆς ψηφοφορίας, ὁ Σεβασμιώτατος Μητροπολίτης Λαρίσης καὶ Πλαταμῶνος συνεκέντρωσεν 28 ψήφους. Ἐπανελήφθη ἡ ψηφοφορία, καθ' ἣν οὗτος ἔλαβε 40 ψήφους, καὶ ἀνεδείχθη οὕτω Ἀρχιεπίσκοπος Ἀθηνῶν καὶ πάσης Ἑλλάδος. Καὶ ὁ θόλος τοῦ Ναοῦ ἀντήχησεν ἀπὸ τὰ «ἄξιος.» Ἤνοιξεν ὁ Ναός, καὶ τὰ πλήθη εἰσῆλθον εἰς αὐτόν, ἀναφωνοῦντα : «Ἄξιος ! Ἄξιος !» Συνετάχθη τὸ Ὑπόμνημα τῆς ἐκλογῆς, ὅπερ ἀνεγνώσθη μεγαλοφώνως καὶ ὑπεγράφη ὑπὸ τῶν ἐκλεκτόρων καὶ τοῦ Ὑπουργοῦ τῆς Παιδείας καὶ τῶν Ἐκκλησιαστικῶν κ. Πέτρου Λεβαντῆ. Μεθ' ἐγένετο ἡ τελετὴ τοῦ Μεγάλου Μηνύματος, καὶ ἐψάλη τὸ πρῶτον ἡ φήμη τοῦ νεοεκλεγέντος Ἀρχιεπισκόπου Ἀθηνῶν καὶ πάσης Ἑλλάδος. Τὴν 30 Μαρτίου ἐδημοσιεύθη εἰς τὴν Ἐφημερίδα τῆς Κυβερνήσεως τὸ Βασιλικὸν Διάταγμα τῆς ἀναγνωρίσεως καὶ ἀποκαταστάσεως τοῦ Ἀρχιεπισκόπου. Καὶ τὴν 31 Μαρτίου, ὥραν 13ην ὁ νέος Ἀρχιεπίσκοπος Ἀθηνῶν καὶ πάσης Ἑλλάδος εἰς τὸ Παρεκκλήσιον τῶν Ἀνακτόρων ἔδωκεν ἐνώπιον τοῦ Βασιλέως τὴν ἐπὶ τῇ γενομένῃ ἐκλογῇ νενο-

μισμένην «διαβεβαίωσιν». Παρίσταντο τὰ Μέλη τῆς Ἱερᾶς Συνόδου, ὁ Ὑπουργὸς τῆς Παιδείας, ὁ Βασιλικὸς Ἐπίτροπος παρὰ τῇ Ἱερᾷ Συνόδῳ, ὁ Ἀρχιγραμματεὺς αὐτῆς, καὶ οἱ Αὐλικοί.

Τὴν 30ὴν Μαρτίου ὁ νέος Ἀρχιεπίσκοπος, συνοδευόμενος ὑπὸ τοῦ Ὑπουργοῦ τῆς Παιδείας ἐπεσκέφθη τὸν Πρωθυπουργὸν κ. Κωνσταντῖνον Καραμανλῆν, καὶ ὡμίλησαν ἐπὶ τῶν ἀφορώντων τὴν Ἐκκλησίαν ζητημάτων. Τὴν δὲ ἑπομένην, μετὰ τὴν τελετὴν τῆς «διαβεβαιώσεως», ὁ Πρωθυπουργὸς μετὰ τοῦ Ὑπουργοῦ τῆς Παιδείας ἐπεσκέφθησαν τὸν νέον Ἀρχιεπίσκοπον καὶ συνεχάρησαν αὐτόν, μὲ τὴν διαβεβαίωσιν ὅτι ἡ Κυβέρνησις θὰ εἶναι πάντοτε συμπαραστάτης εἰς τὸ ἔργον τῆς Ἐκκλησίας.

